Ἀλλ´ οἶμαι πολλὰ τῶν ἐν τῷ βίῳ γιγνομένων [καὶ] μετὰ πόνου πλείονος καὶ δαπάνης οὐ σμικρᾶς ἔστι προῖκα καὶ πάνυ ῥᾳδίως ποιεῖν, εἴ τις ἀμελεῖ τοῦ προσήκοντος καὶ τοῦ πράττειν ἀληθῶς. Οἶον εὐθὺς τὰς θυσίας, ἅς ἑκάστοτε τελοῦμεν τοῖς θεοῖς, ἔστι μὴ θύσαντας φάσκειν τεθυκέναι, μόνον, ἂν δοκῇ, στεφανωσαμένους καὶ τῷ βωμῷ προσελθόντας [καὶ τῶν οὐλῶν θιγγάνοντας καὶ τἄλλα ποιοῦντας ὡς ἐφ´ ἱερουργίας]. Τί δ´; οὐχὶ ταὐτὸ ἱερεῖον ἅπασιν ἐν κύκλῳ τοῖς ἀγάλμασι προσάγοντας, τῷ τοῦ Διός, τῷ τοῦ Ἡλίου, τῷ τῆς Ἀθηνᾶς, καὶ πανταχῇ κατασπείσαντας πᾶσιν οἴεσθαι τεθυκέναι τοῖς θεοῖς οὐ ῥᾴδιον ; τίς δ´ ὁ κωλύσων ; ἐὰν δὲ δὴ βωμὸν ἢ ναὸν νῦν τινος ἱδρύσασθαι θελήσωμεν· καὶ γὰρ εἰ πάντων εἰσὶ παρ´ ὑμῖν [τῶν θεῶν], οὐκ ἀδύνατον οἶμαι καὶ κρείττω κατασκευάσαι τοῦ πρότερον καὶ διὰ πλειόνων τιμᾶν προελέσθαι τὸν αὐτόν· ἆρ´ οὐχ ἕτοιμον ἐξοικίσαι τινὰ τῶν ἄλλων θεῶν ἢ μετενεγκεῖν τι τῶν ἤδη καθιερωμένων ; ἢ καὶ τὴν ἐπιγραφὴν ἀλλάξαι μόνον, ὃ νῦν ποιοῦμεν ; καίτοι τὸν μὲν Ἀπόλλω καὶ τὸν Ἥλιον καὶ τὸν Διόνυσον ἔνιοί φασιν εἶναι τὸν αὐτόν, καὶ ὑμεῖς οὕτω νομίζετε, πολλοὶ δὲ καὶ ἁπλῶς τοὺς θεοὺς πάντας εἰς μίαν τινὰ ἰσχὺν καὶ δύναμιν συνάγουσιν, ὥστε μηδὲν διαφέρειν τὸ τοῦτον ἢ ἐκεῖνον τιμᾶν. Ἐπὶ δὲ τῶν ἀνθρώπων οὐθέν ἐστι τοιοῦτον· ἀλλ´ ὁ διδοὺς τὰ τοῦδε ἑτέρῳ τοῦτον ἀφῄρηται τῶν ἑαυτοῦ.

Dion Chrysostome, Discours aux Rhodiens, XXXI, 10, 11